## ΑΦΡΟΔΙΤΗ.

*Πολλὴ μὲν ἐν βροτοῖσι κοὐκ ἀνώνυμος*
*θεὰ κέκλημαι Κύπρις οὐρανοῦ τ᾽ ἔσω·*
*ὅσοι τε πόντου τερμόνων τ᾽ Ἀτλαντικῶν*
*ναίουσιν εἴσω φῶς ὁρῶντες ἡλίου,*
*τοὺς μὲν σέβοντας τἀμὰ πρεσβεύω κράτη,*
*σφάλλω δ᾽ ὅσοι φρονοῦσιν εἰς ἡμᾶς μέγα.*
*ἔνεστι γὰρ δὴ κἀν θεῶν γένει τόδε·*
*τιμώμενοι χαίρουσιν ἀνθρώπων ὕπο.*
*δείξω δὲ μύθων τῶνδ᾽ ἀλήθειαν τάχα·*
*ὁ γάρ με Θησέως παῖς, Ἀμαζόνος τόκος,*
*Ἱππόλυτος, ἁγνοῦ Πιτθέως παιδεύματα,*
*μόνος πολιτῶν τῆσδε γῆς Τροιζηνίας*
*λέγει κακίστην δαιμόνων πεφυκέναι,*
*ἀναίνεται δὲ λέκτρα κοὐ ψαύει γάμων·*
*Φοίβου δ᾽ ἀδελφὴν Ἄρτεμιν, Διὸς κόρην,*
*τιμᾷ μεγίστην δαιμόνων ἡγούμενος,*
*χλωρὰν δ᾽ ἀν᾽ ὕλην παρθένῳ ξυνὼν ἀεὶ*
*κυσὶν ταχείαις θῆρας ἐξαιρεῖ χθονός,*
*μείζω βροτείας προσπεσὼν ὁμιλίαν.*
*τούτοισι μέν νυν οὐ φθονῶ· τί γάρ με δεῖ;*
*ἃ δ᾽ εἰς ἔμ᾽ ἡμάρτηκε, τιμωρήσομαι*
*Ἱππόλυτον ἐν τῇδ᾽ ἡμέρᾳ· τὰ πολλὰ δὲ*

---

*ἱππόλυτος* superscr. *Aa*, *ἱππόλυτος στεφανηφόρος E*, *εὐριπίδου ἱππόλυτος BC*, *εὐριπίδου φαίδρα* minio magnis literis superscr. in *L*, *εὐριπίδου ἱππόλυτος στεφανηφόρος lP* 1 notam om. *AL* add. *l* 6 *σφάλω A* 15 *κόραν B* 16 fort. *δαίμον᾽ ἐκπαγλούμενος* (*δαιμόνων* ex v. 13 ortum videtur) 18 *κυσὶ B* | *ἐξαιρεῖ P* et in marg. additis verbis *ἀντὶ τοῦ θηρᾶται L*, *ἐξαίρει AEaBCL* 19 *προσπεσὼν*] *γρ. τυχὼν* scr. super *πεσὼν l* i. e. *προστυχὼν* | *ὁμιλίαν*] Porson, *ὁμιλίας* libri (scripto *ι* super *ς a*, *ς* delevit *l*) 20 *τούτοισι μέν νυν C*, *τούτοισι μὲν νῦν AEa*, *τούτοισι μὲν οὖν B*, *τούτοισ μὲν οὖν L*, sed *οὖν* ex aliis literis quae discerni nequeunt corr. *l*, *τούτοισι μὲν γ᾽ οὖν P*